# Parm(en)iskos

Testimonia DK 20

**A 1** = Iamblichos, De vita Pythagorica 267
Μεταποντῖνοι Βροντῖνος, Παρμίσκος, ᾽Ορεστάδας, Λέων...

**A 2** = Diogenés Laertios, Vitae philosophorum IX,20
δοκεῖ δὲ πεπρᾶσθαι † [καὶ λελύσθαι ὑπὸ] τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ ᾽Ορεστάδου.

**A 3** /1 = Athénaios, Deipnosophistae XIV, 2; 614a = 18-32 Kaibel
Παρμενίσκος δὲ ὁ Μεταποντῖνος, ὥς φησιν Σῆμος ἐν ε Δηλιάδος (fr. 8; FHG IV,493), καὶ γένει πλούτωι πρωτεύων εἰς Τροφωνίου καταβὰς καὶ ἀνελθὼν οὐκ ἔτι γελᾶν ἐδύνατο. καὶ χρηστηριαζομένωι περὶ τούτου ἡ Πυθία ἔφη·

εἴρηι μ᾽ ἀμφὶ γέλωτος, ἀμείλιχε, μειλιχίοιο·
δώσει σοι μήτηρ οἴκοι· τὴν ἔξοχα τῖε.

ἐλπίζων δ᾽ ἂν ἐπανέλθηι εἰς τὴν πατρίδα γελάσειν, ὡς [οἱ] οὐδὲν ἦν πλέον, οἰόμενος ἐξηπατῆσθαι ἔρχεταί ποτε κατὰ τύχην εἰς Δῆλον· καὶ πάντα τὰ κατὰ τὴν νῆσον θαυμάζων ἦλθεν καὶ εἰς τὸ Λητῶιον, νομίζων τῆς ᾽Απόλλωνος μητρὸς ἄγαλμά τι θεωρήσειν ἀξιόλογον· ἰδὼν δ᾽ αὐτὸ ξύλον ὂν ἄμορφον παραδόξως ἐγέλασεν. καὶ τὸν τοῦ θεοῦ χρησμὸν συμβαλὼν καὶ τῆς ἀρρωστίας ἀπαλλαγεὶς μεγαλωστὶ τὴν θεὸν ἐτίμησεν.

**A 3** /2 = Inventar des Artemistempels zu Delos IG XI, 2, 161 B 17; p. 49 (cfr. p. 54)
κρατὴρ ἀργυροῦς, ὃν ἀνέθηκε Παρμίσκος, ὁλκὴν.

Kleostratos B 1 = Scholia in Euripidem (scholia vetera), Rhesus 528, ed. E. Schwartz:
ὁ μὲν οὖν Παρμενίσκος ᾽πρῶτα σημεῖα᾽ φησὶ... Κλεόστρατον ... [..., γράφειν] οὕτως·
ἀλλ᾽ ὁπόταν τρίτον ἦμαρ ἐπ᾽ ὀγδώκοντα πέλησι σκορπίου, εἰς ἅλα πίπτει ἅμ᾽ ἠοῖ φαινομένηφι.
τοῦτο δὲ παραδείξας ὁ Παρμενίσκος ὅτι καταδύεται τὰ πρῶτα σημεῖα τοῦ σκορπίου, καὶ τὰ περὶ τῆς Πλειάδων ἐπιτολῆς ἐπέξεισιν· ᾽ὅταν γὰρ᾽, φησὶν, ...